δοχῶν τι ἀγαθὸν ὠνήσασθαι, σὺ δὲ σαπρὸς εἶ, καὶ κακὸν, ἐγὼ οὐ χρήζω. Αἴσωπος λέγει, ἀγόρασόν με, καὶ πίστευσόν μοι, πολλά σε ὠφελήσω. ὁ δὲ πρὸς αὐτὸν, τί δύνασαι σὺ ὠφελῆσαι με. Καὶ ὁ Αἴσωπος, οὐκ ἔχεις ἐν τῷ οἴκῳ σου ἢ ἐν τῷ σωματεμπορείῳ σου παιδάρια κλαίοντα ἢ ἀτακτοῦντα. ἀγόρασον οὖν με καὶ κατάστησον ἐπ' αὐτῶν παιδαγωγὸν, καὶ ἔσομαι αὐτοῖς ἀντὶ μορμολυκίου, φοι..δξ ςρον. ὁ δὲ ἔμπορος παθεὶς τῷ λόγῳ αὐτοῦ, γελάσας, καὶ στραφεὶς, λέγει τῷ Ζηνᾷ, π..σου τὸ τάλαντον ὅπερ μέλλεις τὸ κακὸν τοῦτο πωλεῖν. ὁ δὲ τριοβόλου. μειδιάσας οὖν ὁ ἔμπορος, δέδωκε τὸ τριόβολον, ἢ φολλεῖς λς, λογισάμενος ὅτι οὐδὲν τοῦ μηδενὸς ἠγόρακε. ὁδεύσαντες οὖν εἰς τὴν πόλιν, ἦλθον εἰς τὸ σωματεμπορεῖον. Δύο δὲ παιδάρια ὑπὸ μητέρα ὄντα, ὡς εἶδον τὸν Αἴσωπον, φοβηθέντα ἀνέκραξαν, καὶ κατεκρύβησαν. ὁ δὲ Αἴσωπος τῷ ἐμπόρῳ ἔφη, ἔχεις μου ἤδη τῆς ἀπο-